# I dialetti – L'eolico – Testi letterari

## 1. Sapph. fr. 31 V.

(⊗) ⸤φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν᾽ ὤνηρ, ὄττις ἐνάντιός τοι
ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὐπακούει

καὶ γελαίσας ἰμέροεν, τό μ᾽ ἦ μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόαισεν,
ὠς γὰρ <ἔς> σ᾽ ἴδω βρόχε᾽ ὤς με φώνη-
σ᾽ οὐδὲν ἔτ᾽ εἴκει,

ἀλλὰ κὰμ μὲν γλῶσσα ἔαγε λέπτον
δ᾽ αὔτικα χρῷ πῦρ ὐπαδεδρόμακεν,
ὀππάτεσσι δ᾽ οὐδὲν ὄρημμ᾽, ἐπιβρό-
μεισι δ᾽ ἄκουαι,

κὰδ δ᾽ ἴδρως ψῦχρος χέεται, τρόμος δὲ
παῖσαν ἄγρει,⸥ χλωροτέ⸤ρα δὲ π⸥οίας
ἔμμι, τεθ⸤νάκην δ᾽ ὀ⸥λίγω 'πιδε⸤ύης
φα⸥ίνομ᾽ ἔμ᾽ αὔτ̣⸤α̣·

ἀλλὰ πὰν τόλματον, ἐπεὶ †καὶ πένητα†

## 2. Alcae. fr. 346 V.

πώνωμεν· τί τὰ λύχν᾽ ὀμμένομεν; δάκτυλος ἀμέρα·
κὰδ δ᾽ ἄερρε κυλίχναις μεγάλαις, ἄϊτα, ποικίλαις·
οἶνον γὰρ Σεμέλας καὶ Δίος υἶος λαθικάδεα
ἀνθρώποισιν ἔδωκ᾽. ἔγχεε κέρναις ἔνα καὶ δύο
πλήαις κὰκ κεφάλας, <ἀ> δ᾽ ἀτέρα τὰν ἀτέραν κύλιξ
ὠθήτω

## 3. Corinn. *PMG* 664a-b

(a) μέμφομη δὲ κὴ λιγουρὰν
Μουρτίδ᾽ ἱώνγ᾽ ὅτι βανὰ φοῦ-
σ᾽ ἔβα Πινδάροι πὸτ ἔριν.

(b) ἱώνει δ᾽ εἱρώων ἀρετὰς
χεἱρωάδων